*ζηλοτυπιῶν· αὐτοὶ δὲ καὶ κύνας ἁμαρτάνοντας καὶ ἵππους κολάζουσιν, οὐ διὰ κενῆς ἀλλ᾽ ἐπὶ σωφρονισμῷ, λύπην δι᾽ ἀλγηδόνος ἐμποιοῦντες αὐτοῖς, ἣν μετάνοιαν ὀνομάζομεν. ἡδονῆς δὲ τῷ μὲν δι᾽ ὤτων ὄνομα κήλησίς ἐστι τῷ δὲ δι᾽ ὀμμάτων γοητεία· χρῶνται δ᾽ ἑκατέροις ἐπὶ τὰ θηρία. κηλοῦνται μὲν ⟨γὰρ⟩ ἔλαφοι καὶ ἵπποι σύριγξι καὶ*
E *αὐλοῖς, καὶ τοὺς παγούρους ἐκ τῶν χηραμῶν ἀνακαλοῦνται βιαζόμενοι ταῖς φώτιγξι, καὶ τὴν θρίσσαν ᾀδόντων καὶ κροτούντων ἀναδύεσθαι καὶ προϊέναι λέγουσιν. ὁ δ᾽ ὦτος αὖ πάλιν ἁλίσκεται γοητευόμενος, ὀρχουμένων ἐν ὄψει μεθ᾽ ἡδονῆς ἅμα ῥυθμῷ γλιχόμενος τοὺς ὤμους συνδιαφέρειν. οἱ δὲ περὶ τούτων ἀβελτέρως λέγοντες μήθ᾽ ἥδεσθαι μήτε θυμοῦσθαι μήτε φοβεῖσθαι μήτε παρασκευάζεσθαι μήτε μνημονεύειν, ἀλλ᾽ 'ὡσανεὶ μνημονεύειν' τὴν μέλιτταν καὶ 'ὡσανεὶ παρασκευάζεσθαι' τὴν χελιδόνα καὶ 'ὡσανεὶ θυμοῦσθαι' τὸν λέοντα καὶ 'ὡσανεὶ φοβεῖσθαι' τὴν ἔλαφον, οὐκ οἶδα τί χρήσονται τοῖς*
F *λέγουσι μηδὲ βλέπειν μηδ᾽ ἀκούειν ἀλλ᾽ 'ὡσανεὶ βλέπειν' αὐτὰ καὶ 'ὡσανεὶ ἀκούειν', μηδὲ φωνεῖν ἀλλ᾽ 'ὡσανεὶ φωνεῖν', μηδ᾽ ὅλως ζῆν ἀλλ᾽ 'ὡσανεὶ ζῆν'· ταῦτα γὰρ ἐκείνων οὐ μᾶλλόν ἐστι λεγόμενα παρὰ τὴν ἐνάργειαν, ὡς ἐγὼ πείθομαι.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549779/24 UNIVERSITÄT LEIPZIG